ῴμην, ῷο, ῷτο.
τιμ-αοίμεθον, άοισθον, αοίσθην.
ῴμεθον, ῷσθον, ῴσθην.
τιμ-αοίμεθα, άοισθε, άοιντο,
ῴμεθα, ῷσθε, ῷντο.

Perf. & *pl.* τετιμ-ῄμην.

Aor. I. τιμηθ-είην.

Aor. 2. τιμ-είην.

Fut. I. τιμηθησ-οίμην.

Fut. 2. τίμησ-οίμην.

Fut. 3. τετιμησ-οίμην.

Optativus. οω.

Praeſ. & *imperfectum.*

χρυσ-οοίμην, όοιο, όοιτο,
οίμην. οῖο. οῖτο.
χρυσ-οοίμεθον, όοισθον, οοίσθην.
οίμεθον, οῖσθον, οίσθην.
χρυσ-οοίμεθα, όοισθε, όοιντο.
οίμεθα, οῖσθε, οῖντο.

Perf. & *pl.* κεχρυσ-ῴμην.
S. ῴμην, ῷο, ῷτο. D. ῴμεθον,
ῷσθεν, ῴσθην. P. ῴμεθα etc.

Aor. I. χρυσωθ-είην.

Aor. 2. *deficit.*

Fut. I. χρυσωθησ-οίμην.

Fut. 2. *deficit.*

Fut. 3. κεχρυσωσ-οίμην.

Coniunctivus. εω.

Praes. & *imp.* ich werde geliebet.

S.	φιλ-έωμαι,	φιλ-έῃ,	φιλ-έηται.
	ῶμαι.	ῇ.	ῆται.
D.	φιλ-εώμεθον,	φιλ-έησθον,	φιλ-έησθον,
	ώμεθον.	ῆσθον.	ῆσθον.
P.	φιλ-εώμεθα,	φιλ-έησθε,	φιλ-έωνται,
	ώμεθα.	ῆσθε	ῶνται.

Perf. & *plusq.* ich sey geliebet worden, πεφιλ-ῶμαι.
S. ῶμαι, ῇ, ῆται. D. ώμεθον, ῆσθον, ῆσθον.
P. ώμεθα, ῆσθε, ῶνται.

Aor. 1. ich sey geliebet worden, φιληθ-ῶ.
S. ῶ, ῇς, ῇ. D. ῆτον, ῆτον. P. ῶμεν, ῆτε, ῶσι.

Aor. 2. ich sey geliebet worden, φιλ-ῶ. *vt aoristus* 1.

Infinitivus. εω.

Praes. & *imp.*	geliebet werden	φιλ-έεσθαι, φιλ-εῖσθαι.
Perf. & *pl.*	geliebet worden seyn	πεφιλῆ-σθαι.
Aor. 1.	geliebet worden seyn	φιληθ-ῆναι.
Aor. 2.	geliebet worden seyn	φιλ-ῆναι.
Fut. 1.	werden geliebet werden	φιληθήσ-εσθαι.
Fut. 2.	werden geliebet werden	φιλήσ-εσθαι.
Fut. 3.	bald geliebet worden seyn	πεφιλήσ-εσθαι.

Participium. εω.

Praes. & *imp.* der da geliebet wird.

φιλ-εόμενος,	φιλ-εομένη,	φιλ-εόμενον,
ούμενος,	ουμένη,	ούμενον.

Perf. & *plusq.* geliebet.

πεφιλη-μένος,	πεφιλ-ημένη,	πεφιλ-ημένον.

Aor. 1. geliebet	φιληθ-είς,	εῖσα,	έν.
Aor. 2. geliebet	φιλ-είς,	εῖσα,	έν.

Fut. 1. der da wird geliebet werden.

φιληθησ-όμενος,	ομένη,	όμενον.

Fut. 2. der da wird geliebet werden.

φιλησ-όμενος,	ομένη,	όμενον.

Fut. 3. der da bald wird geliebet worden seyn.

πεφιλησ-όμενος,	ομένη,	όμενον.

Coniunctivus. αω.

Pr. & imp. ich werde geehret.

τιμ-άωμαι, άῃ, άηται,
ῶμαι. ᾷ ᾶται.
τιμ-αώμεθον, άησθον, άησθον,
ώμεθον. ᾶσθον. άσθον.
τιμ-αώμεθα, άησθε, άωνται,
ώμεθα. ᾶσθε. ῶνται.

Perf. & pl. τετιμ-ῶμαι.

Aor. 1. τιμηθ-ῶ.

Aor. 2. τιμ-ῶ.

Coniunctivus. οω.

Pr. & imp. ich werde vergüldet.

χρυσ-όωμαι, όῃ, όηται.
ῶμαι. οῖ. ῶται.
χρυσ-οώμεθον, όησθον, όησθον,
ώμεθον. ῶσθον. ῶσθον.
χρυσ-οώμεθα, όησθε, όωνται,
ώμεθα. ῶσθε. ῶνται.

Perf. & plusq. κεχρυσ-ῶμαι.
S. ῶμαι, ῇ, (ῷ) ῆται.
D. ώμεθον, ῆσθον etc.

Aor. 1. χρυσωθ-ῶ.

Aor. 2. *deficit.*

Infinitivus. αω.

Praes. & imp. τιμ-άεσθαι, ᾶσθαι
Perf. & pl. τετιμ-ῆσθαι.
Aor. 1. τιμηθ-ῆναι.
Aor. 2. τιμ-ῆναι.
Fut. 1. τιμηθήσ-εσθαι.
Fut. 2. τιμήσ-εσθαι.
Fut. 3. τετιμήσ-εσθαι.

Infinitivus. οω.

Praes. & imp. χρυσ-όεσθαι, οῦσθαι
Perf. & pl. κεχρυσῶσθαι.
Aor. 1. χρυσωθ-ῆναι.
Aor. 2. *deficit.*
Fut. 1. χρυσωθήσ-εσθαι.
Fut. 2. *deficit.*
Fut. 3. κεχρυσώσ-εσθαι.

Participium. αω.

Praes. & imperfectum.
τιμ-αόμενος, η, ον.
ώμενος.
Perf. & plusquamperf.
τετιμη-μένος.
Aor. 1. τιμηθ-εὶς.
Aor. 2. τιμ-εὶς.
Fut. 1. τιμηθησ-όμενος,

Fut. 2. τιμησ-όμενος.

Fut. 3. τετιμησ-όμενος.

Participium. οω.

Praes. & imperf.
χρυσ-οόμενος, η, ον
ούμενος.
Perf. & plusquamperf.
κεχρυσω-μένος.
Aor. 1. χρυσωθ-εὶς.
Aor. 2. *deficit.*
Fut. 1. χρυσωθησ-όμενος.

Fut. 2. *deficit.*

Fut. 3. κεχρυσωσ-όμενος.

Indicativus. εω.

Praes. ich liebe, φιλ-έομαι, ῦμαι etc.

vt in passivo p. 36.

Imperf. ich liebete, ἐφιλ-εόμην, ὑμην etc.

vt in passivo.

Perf. ich habe geliebet, πέφιλ-α.

S. α, ας, ε. D. ατον, ατον. P. αμεν, ατε, ασι.

Plusquam. ich hatte geliebet, ἐπεφίλ-ειν.

S. ειν, εις, ει. D. ειτον, είτην. P. ειμεν, ειτε, εισαν.

Aor. 1. ich habe geliebet, ἐφιλησ-άμην.

S. άμην, ω, ατο. D. άμεθον, ασθον, άσθην.
P. άμεθα, ασθε, αντο.

Aor. 2. ich habe geliebet, ἐφιλ-όμην.

S. όμην, ου. ετο. D. όμεθον, εσθον, έσθην.
P. όμεθα, εσθε, οντο.

Fut. 1. ich werde lieben, φιλήσ-ομαι.

S. ομαι, ῃ, εται. D. όμεθον, εσθον, εσθον.
P. όμεθα, εσθε, ονται.

Fut. 2. ich werde lieben, φιλ-ῦμαι.

S. ῦμαι, ῇ, ῖται. D. ύμεθον, ῖσθον, ῖσθον.
P. ύμεθα, ῖσθε, ῦνται.

Indicativus. αω.	Indicativus. οω.
Praes. τιμ-άομαι, ῶμαι.	*Praes.* χρυσ-όομαι, ῦμαι.
Imperf. ἐτιμ-αόμην, ώμην.	*Imperf.* ἐχρυσ-οόμην, ούμην.
Perf. τέτιμ-α.	*Perf. deficit.*
Plusqm. ἐτετίμ-ειν.	*Plusqm. deficit.*
Aor. 1. ἐτιμησ-άμην.	*Aor.* 1. ἐχρυσωσ-άμην.
Aor. 2. ἐτιμ-όμην.	*Aor.* 2. *deficit.*
Fut. 1. τιμήσ-ομαι.	*Fut.* 1. χρυσώσ-ομαι.
Fut. 2. τιμ-ῦμαι.	*Fut.* 2. *deficit.*

Imperativus. εω.

Praes. & imperf. liebe du, φιλ-έυ, ȣ̃ etc.
vt in passivo pag. 38.

Perf. & plusqm. habe du geliebet, πέφιλ-ε.
S. ε, έτω. D. ετον, έτων. P. ετε, έτωσαν.

Aor. 1. liebe, habe du geliebet, φίλησ-αι.
S. αι, άσθω. D. ασθον, άσθων. P. ασθε, άσθωσαν.

Aor. 2. habe du geliebet, φιλ-ȣ̃.
S. ȣ̃, έσθω. D. εσθον, έσθων. P. εσθε, έσθωσαν.

Optativus. εω.

Praes. & Imp. daß ich lieben möchte, φιλ-εοίμην, οίμην etc.
vt in passivo.

Perf. & plusqm. daß ich geliebet hätte, πεφίλ-οιμι.
S. οιμι, οις, οι. D. οιτον, οίτην. P. οιμεν, οιτε, οιεν.

Aor. 1. daß ich geliebet hätte, φιλησ-αίμην.
S. αίμην, αιο, αιτο. D. αίμεθον, αισθον, αίσθην.
P. αίμεθα, αισθε, αιντο.

Aor. 2. daß ich geliebet hätte, φιλ-οίμην.
S. οίμην, οιο, οιτο. D. οίμεθον, οισθον, οίσθην.
P. οίμεθα, οισθε, οιντο.

Fut. 1. daß ich lieben werde, φιλησ-οίμην. *vt aor.* 2.

Fut. 2. daß ich lieben werde, φιλ-οίμην.
S. οίμην, οῖο, οῖτο. D. οίμεθον, οίσθον, οίσθην.
P. οίμεθα, οῖσθε, οῖντο.

Imperativus. αω.

Praes. & *imp.* τιμ-άȣ, ῶ etc.

Perf. & *pl.* τέτιμ-ε.

Aor. 1. τίμησ-αι.

Aor. 2. τιμ-ȣ̃.

Imperativus. οω.

Praes. & *Imp.* χρυσ-όȣ, ȣ̃ etc.

Perf. & *pl.* *deficit.*

Aor. 1. χρύσωσ-αι.

Aor. 2. *deficit.*

Optativus. αω.

Pr. & *imp.* τιμ-αοίμην, ῴμην etc.

Perf. & *pl.* τετίμ-οιμι.

Aor. 1. τιμησ-αίμην.

Aor. 2. τιμ-οίμην.

Fut. 1. τιμήσ-οίμην.

Fut. 2. τιμ-οίμην.

Optativus. οω.

Pr. & *imp.* χρυσ-οοίμην, οίμην.

Perf. & *pl.* *deficit.*

Aor. 1. χρυσωσ-αίμην.

Aor. 2. *deficit.*

Fut. 1. χρυσωσ-οίμην.

Fut. 2. *deficit.*

Coniunctivus. εω.

Praes. & *imp.* ich liebe, φιλ-έωμαι, ῶμαι etc.
vt in passivo p. 40.
Perf. & *plusq.* ich habe geliebet, πεφίλ-ω.
S. ω, ῃς, ῃ. D. ητον, ητον. P. ωμεν, ητε, ωσι.
Aor. 1. ich habe geliebet, φιλήσ-ωμαι.
S. ωμαι, ῃ, ηται. D. ώμεθον, ησθον, ησθον.
P. ώμεθα, ησθε, ωνται.
Aor. 2. ich habe geliebet, φίλ-ωμαι. *vt aoristus* 1.

Infinitivus. εω.

Praes. & *imp.* lieben φιλ-έεσθαι, φιλ-ῦσθαι.
Perf. & *pl.* geliebet haben πεφιλ-ένωι.
Aor. 1. geliebet haben φιλήσ-ασθαι.
Aor. 2. geliebet haben φιλ-έσθαι.
Fut. 1. lieben werden φιλήσ-εσθαι.
Fut. 2. lieben werden φιλ-ῦσθαι.

Participium. εω.

Praes. & *imp.* der da liebet φιλ-εόμενος, ῦμενος etc.
vt in passivo.
Perf. & *plusq.* der da geliebet hat πεφιλ-ὼς, υῖα, ός.
Aor. 1. der da geliebet hat.
φιλησ-άμενος, αμένη, άμενον.
Aor. 2. der da geliebet hat.
φιλ-όμενος, ομένη, όμενον.
Fut. 1. der da lieben wird.
φιλησ-όμενος, ομένη, όμενον.
Fut. 2. der da lieben wird.
φιλ-ῦμενος, ῦμένη, ῦμενον.

Coniunctivus. αω.	Coniunctivus. οω.
Praes. & imp. τιμ-άωμαι, ῶμαι.	*Praes. & imp.* χρυσ-όωμαι, ῶμαι.
Perf. & pl. τετίμ-ω.	*Perf. & pl. deficit.*
Aor. 1. τιμήσ-ωμαι.	*Aor.* 1. χρυσώσ-ωμαι.
Aor. 2. τιμ-ῶμαι.	*Aor.* 2. *deficit.*

Infinitivus. αω.	Infinitivus. οω.
Praes. & imp. τιμ-άεσθαι, ᾶσθαι	*Praes. & imp.* χρυσ-όεσθαι, οῦσθαι
Perf. & pl. τετιμ-ῆναι.	*Perf. & pl. deficit.*
Aor. 1. τιμήσ-ασθαι.	*Aor.* 1. χρυσώσ-ασθαι.
Aor. 2. τιμ-έσθαι.	*Aor.* 2. *deficit.*
Fut. 1. τιμ-ήσεσθαι.	*Fut.* 1. χρυσώσ-εσθαι.
Fut. 2. τιμ-ᾶσθαι.	*Fut.* 2. *deficit.*

Participium. αω.	Participium. οω.
Praes. & imp. τιμ-αόμενος, ώμενος.	*Praes. & imp.* χρυσ-οόμενος, ούμενος.
Perf. & plusq. τετιμ-ώς.	*Perf. & plusqm. deficit.*
Aor. 1. τιμησ-άμενος.	*Aor.* 1. χρυσωσ-άμενος.
Aor. 2. τιμ-όμενος.	*Aor.* 2. *deficit.*
Fut. 1. τιμησ-όμενος.	*Fut.* 1. χρυσωσ-όμενος.
Fut. 2. τιμ-ώμενος.	*Fut.* 2. *deficit.*

Von

Von den Verbis in μι.

Die Verba in μι kommen her von den Verbis, die sich enden auf εω, αω, οω und υω: das ω am Ende wird in μι verwandelt, und der kurze Vocalis vor dem ω, wird vor dem μι lang gemacht, so daß aus ε und α ein η; aus ο ein ω, wird. Als, aus δόω, θέω, ςάω wird δίδωμι, τίθημι und ἵςημι, und vorne geht eine Verdoppelung der Buchstaben vor: da denn zum ersten Consonans des Verbi ein ι oder ε kömmt. Nur die Verba in υω haben keine solche Reduplication.

Der Kennbuchstabe des Aor. 1. act. und med. ist, an statt des σ ein κ. In den Perfectis, Plusquamperfectis, und Paullo post futuris wird an statt des ει ein η gesetzt.

Da nun die ganze Anomalie im Præsenti, Imperfecto und Aoristo 2. act. steckt, das Passivum und Medium aber wie in den andern Verbis gehen, so wollen wir nur die irregulären tempora hersetzen.

Die Endungen der temporum anomalorum sind nämlich diese:

Characteristica α, ε, ο.

	Singul.	Plural.
im Præsenti	μι, σ, σι.	μεν, τε, σι.
im {Imperf. / Aor. 2.}	ν, σ, η.	μεν, τε, σαν.

εω. Indicativus. αω.

Præs. τίθημι ich setze			Præs. ἵςημι ich stelle.		
S. ημι,	ης,	ησι	S. ημι,	ης,	ησι,
D. -	ετον,	ετον	D. -	ατον,	ατον
P. εμεν,	ετε,	εῖσι.	P. αμεν,	ατε,	ᾶσι.

Imperf.

Imperf. ἐτίθην ich setzete.	Imperf. ἵστην ich stellete.
S. ην, ης, η,	S. ην, ης, η,
D. - ετον, έτην,	D. - ατον, άτην,
P. εμεν, ετε, εσαν.	P. αμεν, ατε, ασαν.
A. 2. ἔθην wie das Imperfectum.	A. 2. ἔστην, ης, η. D. ητον, ήτην. Pl. ημεν, ητε, ησαν.

Imperativus.

Præs. τίθετι, setze du.	Præs. ἵσταθι, stelle du.
S. ετι έτω	S. αθι, άτω
D. ετον, έτων	D. ατον, άτων
P. ετε, έτωσαν.	P. ατε, άτωσαν

Optativus.

Præs. τιθείην, d. ich möchte	Præs. ἱσταίην, stellen.
S. είην, είης, είη	S. αίην, αίης, αίη
D. - είητον, ειήτην	D. - αιητον, αιήτην
P. είημεν, είητε, είησαν.	P. αίημεν, αίητε, αίησαν.

Coniunctivus.

Præs. τιθῶ ich setze.	Præs. ἱστῶ, ich stelle.
S. ῶ, ῇς, ῇ	S. ῷ, ᾷς (ῇς), ᾷ (ῇ)
D. - ῆτον, ῆτον	D. - ᾶτον, ᾶτον
P. ῶμεν, ῆτε, ῶσι.	P. ῶμεν, ᾶτε, ῶσι.

Infinitivus.

Præs. τιθέναι, θῆναι, setzen, ἱστάναι, στῆναι, stellen.

Particip.

Præs. τιθείς, εῖσα, ὲν. der da setzet.	ἱστὰς, ᾶσα, ὰν. der, die, das stellet.

Indic. von εω in Passivo von αω.

Præs. τίθεμαι ich werde gesetzet.	Pr. ἵσταμαι ich werde gestellet.
S. εμαι, εσαι, (ῃ) εται	S. αμαι, ασαι, (ῃ) αται
D. έμεθον, εσθον, εσθον	D. άμεθον, ασθον, ασθον
P. έμεθα, εσθε, ενται	P. άμεθα, ασθε, ανται.
Imperf. ἐτιθέμην ich ward	Imperf. ἱστάμην gestellet.
S. έμην, εσο, (ου) ετο	S. άμην, ασο, (ω) ατο
D. έμεθον, εσθον, έσθην	D. άμεθον, ασθον, άσθην
P. έμεθα, εσθε, εντο.	P. άμεθα, ασθε, αντο.

Imperativus.

Pr. τίθεσο (τίθου) werde du	Pr. ἵστασο, (ἵστω) gestellet.
S. εσο (ου) έσθω	S. ασο (ω) άσθω
D. εσθον, έσθων	D. ασθον, άσθων
P. εσθε έσθωσαν.	P. ασθε, άσθωσαν.

Optativus.

Præs. τιθείμην daß ich	Pr. ἱσταίμην möchte gest. w.
S. είμην, εῖο, εῖτο	S. αίμην, αῖο, αῖτο
D. είμεθον, εῖσθον, είσθην	D. αίμεθον, αῖσθον, αίσθην
P. είμεθα, εῖσθε, εῖντο.	P. αίμεθα, αῖσθε, αῖντο.

Coniunctivus.

Pr. τιθῶμαι ich werde	Præs. ἱστῶμαι gestellet.
S. ῶμαι, ῇ, ῆται	S. ῶμαι, ᾷ, ᾶται
D. ώμεθον, ῆσθον, ῆσθον	D. ώμεθον, ᾶσθον, ᾶσθον
P. ώμεθα, ῆσθε, ῶνται.	P. ώμεθα, ᾶσθε, ῶνται.

Infinitivus.

Præs. τίθεσθαι gesetzt	Præs. ἵστασθαι werden.

Participium.

Pr. τιθέμενος, εμένη, έμενον, der da gesetzt wird.	Pr. ἱστάμενος der da gestellet wird.

Indic. von οω	in Passivo von υω
Pr. δίδομαι ich werde gegeben.	Pr. ζεύγνυμαι, ich w. zus. gefüget.
S. ομαι, οσαι, οται	S. υμαι, υσαι, υται.
D. ομεθον, οσθον, οσθον	D. ύμεθον, υσθον, υσθον
P. ομεθα, οσθε, ονται.	P. ύμεθα, υσθε, υνται.
Impf. ἐδιδόμην, ich wurde	Impf. ἐζευγνύμην zusammen gefüget.
S. όμην, οσο (ου) οτο	S. ύμην, υσο, υτο
D. όμεθον, οσθον, όσθην	D. ύμεθον, υσθον, ύσθην
P. όμεθα, οσθε, οντο.	P. υμεθα, υσθε, υντο.

Imperativus.

Pr. δίδοσο, (δίδου werde du	P. ζεύγνυσο zusammengef.
S. οσο (ου) όσθω	S. υσο υσθω
D. οσθον, όσθων	D. υσθον, ύσθων
P. οσθε, όσθωσαν.	P. υσθε, ύσθωσαν.

Optativus.

Pr. διδοίμην	Diese Tempora fehlen in ζεύγνυμι.
S. οίμην, οῖο, οῖτο	
D. οίμεθον, οῖσθον, οίσθην	
P. οίμεθα, οῖσθε, οῖντο.	
Coniunctivus.	
Pr. διδῶμαι, ich werde gegeben.	
S. ῶμαι, ῷ, ῶται	
D. ώμεθον, ῶσθον, ῶσθον	
P. ώμεθα, ῶσθε, ῶνται.	

Infinitivus.

Pr. δίδοσθαι, gegeben.	Pr. ζεύγνυσθαι, werden.

Participium.

Pr. διδόμενος	Pr. ζευγνύμενος.

Das *Verbum Irregulare* Εἰμὶ, ich bin.

Præsens, ich bin.				Imperf. ich war.		
Sing.	εἰμὶ.	εἶς, (εἶ)	ἐςὶ	S. ἦν	ἦς,	ἦ (ἦν)
Dual.	--	ἐςὸν,	ἐςὸν	D. -	ἦτον,	ἤτην
Plur.	ἐσμὲν,	ἐςὲ,	εἰσὶ	P. ἦμεν	ἦτε,	ἦσαν.
Imperf. medii, ich war.				Fut. medii ich werde seyn.		
S.	ἤμην,	ἦσο,	ἦτο	S. ἔσομαι	ἔσῃ	ἔσεται (ἔςαι)
D.	ἤμεθον,	ἦσθον,	ἤσθην	D. ἐσόμεθον,	ἔσεσθον,	ἔσεσθον
P.	ἤμεθα,	ἦσθε,	ἦντο.	P. ἐσόμεθα,	ἔσεσθε,	ἔσονται.

Imperat. Præs. Sey du.

S. ἴσθι, (ἔσο) ἔςω. D. ἔςον, ἔςων. P. ἔςε, ἔςωσαν.

Optativus.

Præs. o daß ich wäre!			Fut. med. o daß ich seyn würde!		
S. εἴην.	εἴης,	εἴη	S. ἐσοίμην,	ἔσοιο,	ἔσοιτο
D. -	εἴητον,	εἰήτην	D. ἐσοίμεθον,	ἔσοισθον,	ἐσοίσθην
P. εἴημεν,	εἴητε,	εἴησαν.	P. ἐσοίμεθα,	ἔσοισθε,	ἔσοιντο.
(εἶμεν)	(εἶτε)	εἶεν per Syncopen.			

Coniunctivus Præs. ich sey.

S. ὦ, ᾖς, ᾖ. D. ἦτον, ἦτον. P. ὦμεν, ἦτε, ὦσι.

Infinitivus.	Participium.
Præs. εἶναι, seyn.	Præs. ὢν, οὖσα, ὄν, der, die, das ist.
Fut. ἔσεσθαι, seyn werden.	Fut. ἐσόμενος, η ον, der da seyn wird.

(*) So gehen auch die Composita von εἰμὶ, als: πάρειμι, σύνειμι, πρόσειμι, μέτειμι, περίειμι, ἄπειμι, ἔξειμι. Man muß mit εἰμὶ ich bin, nicht verwechseln das Verbum εἶμι, ich gehe.

IX) ADVERBIA.

1) Der Zeit.

ἀεὶ allezeit
ἄρτι jetzt
ἅμα zugleich, Dat.
αὔριον morgen
ἑσπέρας abends
ἐσχάτως zuletzt
εὐθὺς, εὐθέως alsbald
ἔτι noch
ἕως bis, gen.
ἤδη schon
μήπω, οὔπω noch nicht
νῦν, νυνὶ nun
ὅτε wann
πάντοτε allezeit
πρότερον vor diesem
πρὶν ehe, ἢ infin. l. indic.
σήμερον heute
ὕστερον hernach
νεωστὶ neulich
χθὲς gestern

2) Des Ortes. Genit.

ἀγχόθι neben
ἀλλόθι anderswo
αὐτόθι daselbst
ἐγγύθι in der Nähe
ἀλλαχοῦ anderswo
ὅπου wo
πανταχοῦ überall
μακρὰν weit
ἐκεῖ dort
ἄνω oben und hinauf
κάτω unten und hinab
ἔσω innen und hinein
ἔξω aussen und hinaus
ἄνωθεν von oben her
ἀρχῆθεν von Anfang her
ἔσωθεν von innen
ἐκεῖσε dorthin
ὧδε hierher

3) Der Zahl.

ἅπαξ einmal }
δὶς zweymal } gen.
τρὶς dreymal }
τετράκις viermal u. s. w.
πολλάκις oft
πάλιν wiederum

4) Der Grösse.

ἅλις genug
μέσως mittelmäßig
μικρὸν, ὀλίγον wenig
περισσῶς mehr, überflüßig
πολὺ viel
πλεῖον mehr
πλεῖστον am meisten.

5) Der Beschaffenheit.

σπουδῇ fleißig
πανδημεὶ öffentlich

6) Des Fragens.
πῆ; wohin?
πόθι; wo?
ποσάκις; wie oft?
πότε; wann?
πότερον; ob?
οὐχί; nicht?
εἰ; μὴ; ob?
τί; warum?

7) Der Vergleichung.
ὡς als, wie
ὥσπερ gleichwie
ὁμοίως eben so
καθὼς gleichwie
οὕτω, οὕτως also

8) Vergrößerung.
ἄγαν, λίαν, σφόδρα sehr
ὅλως ganz und gar
τελέως völlig

9) Verringerung.
σχεδὸν fast
μόλις kaum
μηκέτι nicht mehr, nicht weiter

10) Der Bejahung und Verneinung.
ἄρα ja, gewißlich
ἀληθινῶς fürwahr
μεν, γὲ, γοῦν ja
οὐχ, οὐχί, μὴ nein
οὔτε, μητε } noch, weder
οὐδὲ, μηδὲ }
οὔπω noch nicht
μήποτε daß ja nicht etwan
μήπου daß ja nicht irgend

11) Der Verbindung und Trennung.
ὅλως ganz, auf einmal
ἰδίᾳ, ἰδίως besonders
πλὴν außerdem, ja gen.
χωρίς, ἄνευ ohne, gen.

12) Der Ordnung.
πρῶτον zum ersten
δεύτερον zum zweyten
εἶτα hernach
ἔτι noch
τελευταῖον endlich
λοιπὸν übrigens

13) Betheurung.
νὴ ναὶ } warlich
ἀμὴν } fürwahr

Interiectiones.

οὐα ha! ha!	ἔα ha, was?	εὖ nun wolan	ὄφελον
οὐαὶ ach! wehe!	ὦ, o!	νὴ, μὰ bey, alle	o daß!

X) CON-

X) CONIVNCTIONES.

τε und	μὲν zwar	ἔτι auch noch
ἀλλὰ sondern	ἤ oder	εἰ, ἂν, ἢν, ἐὰν wenn
ἀλλὰ δὲ aber	ὅμως doch	μὲν, γε zwar
γὰρ denn	ὅτι weil	ἅτε sintemal
ὡς, ὥστε so daß	ἵνα, ὅπως auf daß	διὸ, διότε darum
οὖν deswegen	ἄρα, δὴ also	ἔτι überdieß, noch
εἶτα hernach	εἰ, ἄρα, μὴ ob	καὶ, und, auch *)

(*) Καὶ hat im N. T. wie das ו sehr viele Bedeutungen, die man nach dem Contexte bestimmen muß.

XI) PRAEPOSITIONES.

א) einen *Genitivum* regieren

ἀντὶ für, gegen, pro, vice, propter.
ἀπὸ von, a, de, ante, prae.
ἐξ vor einem voc. ἐκ conſ. aus, ab, per, poſt, ſecundum, ob.
πρὸ vor, ante, prae, coram, pro, vice

ב) einen *Accuſativum* regieren

εἰς, in, ad, apud, coram, idcirco, pro, erga, de, contra, vſque.
ἀνὰ hinauf, gegen, inter, per, in, ſinguli, adverſus.

ג) einen *Ablativum* regieren

ἐν in, apud, inter, poſt, ſecundum, a, de, ad, ob,
σὺν mit, apud, ſupra.

ד) einen *Genitivum* und *Accuſativum* regieren

διὰ durch, G. in, cum, poſt. Ac. ob, ſecundum.
κατὰ gegen etwas hinab, G. contra, de, e, per, in. Ac. ſecundum, in, ob, de, ad, inter, vsque.

μετὰ nahe nach etwas G. cum, inter, per, erga. Ac. post, in.

ὑπὲρ über G. pro, de, ob, super, supra, trans, ad, secundum. Ac. supra, ultra.

n) einen *Genitivum*, *Dativum* und *Accusativum* regieren

ἀμφὶ auf beyden Seiten G. circa, ob. D. circa, de, ob, contra. Ac. circa, circiter, ob.

περὶ um etwas herum G. de, pro, ob, contra. D. circa, ex, ob. Ac. circa, propter, circiter.

ἐπὶ auf, bey G. in, sub, coram, iuxta, apud, D. ob, super, coram, prae, post, secundum, adversus, penes. Ac. in, apud, super, erga.

πρὸς zu G. a, de, coram, contra, per. D. apud, præter, in. Ac. ad, circa, erga, contra, cum, respectu.

παρὰ neben G. ab, D. apud, in, ad. Ac. prope, praeter, contra, supra.

ὑπὸ unter G. ab, ob, sub, per. D. sub, cum, in. Ac. sub.

Syntaktische Anmerkungen über solche Fälle, worinn die Griechische Sprache von der Lateinischen abgehet.

§. I.

Die Artikel werden oft zierlich versetzt, als οἱ τὴν τῆς πατρίδος Φροντίδα ἀναλαμβάνοντες, die für das Vaterland sorgen. Ap. 8, 26.

§. II.

§. II. Zuweilen stehet der Artikel mit besonderm Nachdruck da, als ὁ προφήτης εἶ σύ; bist du wohl jener (verheißene) Prophet? Joh. 10, 14. Matth. 16, 16. Joh 6, 32. Apg. 3, 14. Θεὸς ἦν ὁ λόγος, das Wort war Gott. Joh. 1, 1.

§. III. Der PRAEPOSITIVVS wird auch wohl zum Infinitivo, Adverb. Præpos. und Coniunct. gesetzt, und macht aus jenen gleichsam ein Substantivum, aus diesen aber adiectiva.

(*) Οἱ μὲν und ὁ δὲ aber machen eine zierliche Abtheilung. Ebr. 2, 15. Röm. 13, 8. Joh. 8, 23. 2 Cor. 4, 16. Apg. 28, 24.

(**) Oft hat ein Adiectivum, pronomen und participium wider die Gewohnheit, einen Artikel, dazu man denn ein bequemes Subjekt setzen muß, als Matth. 5. μακάριοι ΟΙ ἐλεήμονες (ΑΝΘΡΩΠΟΙ); ὁ πειράζων der Versucher, τὸ ἀληθὲς, die Wahrheit. Tit. 1, 10. Matth. 6, 19.

§. IV. Oft hat der articulus POSTPOSITIVVS (oder besser, das Pronomen relativum) außerordentlich den casum des vorhergehenden nominis, als μνημονεύετε ΤΟΥ λόγΟΥ, ΟΥ ἐγὼ εἶπον ὑμῖν. Joh. 15, 20. 1 Cor. 6, 19. Joh. 17, 9. 2 Theß. 1, 4. Marc. 6, 16 Luc. 9, 36.

§. V. Bey einigen Adiectivis richtet sich ihr GENVS oft mehr nach ihrer Natur, als nach ihrem ordentlichen Gebrauch. Matth. 28, 19. 20. Eph. 1, 13. 14 c. 4, 17. 18. Apostg. 28, 28.

(*) Oder man muß ein ausgelassenes Wort hinein setzen, als ὀρθὸν ἡ ἀλήθεια ἀεὶ; πονηρὸν ὁ συκοφάντης ἀεὶ nämlich χρῆμα, ein Verleumder ist ein schändliches Ding. 1 Cor. 1, 25. Röm. 2, 4. Phil. 4, 5. Sonst wird auch mit Nachdruck das abstractum pro concreto gesetzet, als: Ich bin ἡ ἀλήθεια, die Wahrheit selber, nichts als Wahrheit, Joh. 14, 6. S. Eph. 5. 8. Gal. 3, 13.

§. VI. Ein nomen neutrum im Plurali hat meistentheils sein Verbum im singulari bey sich, als τὰ παιδία παίζει, kleine Kinder (kindische Leute) spielen gern, für παίζουσι.

§. VII. Und so hat auch ein nomen collectivum, (das eine Menge anzeiget,) nicht selten das Verbum im plurali bey sich. Luc. 19, 37. Apostg. 15, 36. Phil. 2, 15.

§. VIII. Oefters hat ein Adiectivum, Pronomen und Participium einen GENITIVVM bey sich, dazu man die ausgelassene Praeposition oben p. 55. aufsuchen muß. Z. E. αἱ πονηραὶ τῶν γυναικῶν.

(*) S. Lamb. Bosens vortrefliches Buch *de Ellipsibus Graecis*. Und von einer solchen Ellipsi præpositionis, kömmt allem Ansehen nach, auch der Genitivus Comparativi und Superlativi her. Ueberhaupt setzen die Griechen den Genitivum, wo die Lateiner den Ablativum gebrauchen.

§. IX. Der genitivus pluralis pronominum possessivorum wird statt des Adiectivi gesetzet, als πατὴρ ἡμῶν für ἡμέτερος, unser Vater.

§. X. Bey einigen Wörtern, die einen Genitivum regieren, muß man das ausgelassene Wort zu ersetzen suchen, z. E. durch τι, ἔργον, πρᾶγμα, χρῆμα, μέρος, ὁδὸς, ἀπόφθεγμα, υἱὸς, διάστημα, οἶκος, ἱμάτια, εἷς, ἑορτάσιμοι ἡμέραι, ἡλικία, τέχνη, χρόνος, oder durch ἐκ, ἀντὶ, διὰ, ἕνεκα, χάριν, ἀπὸ, παρὰ u. s. w.

§. XI. Es regieren ordentlich einen Genitivum die Verba des Hörens, des Verlangens, Abscheues, des Gedächtnisses, der Vergessenheit, der gerichtlichen Handlungen, des Ueberflusses und Mangels, des sorgens, handelns, erlan-

gens,

gens, geniessens, anfangens und aufhörens, befreyens, herrschens, entfernens u. s. w.

§. XII. Die Griechen brauchen zween *genitivos*, davon der andere des Participii ist, mit eben der Zierlichkeit, mit welcher die Lateiner ihre zween Ablativos consequentiae setzen, wann sie die Wörterchen weil, da, nachdem, als ꝛc. auslassen, als Θεȣ̃ διδόντος, μηδὲν ἰσχύει φθόνος, καὶ μὴ διδόντος, μηδὲν ἰσχύει πόνος.

(*) Es giebt auch Nom. Dat. und Accus. consequ. bey den Griechen. S. Geßners schöne Chrest. Gr. p. 9. 21. 86. und Ernesti zu XENOPH. *Mem. Socr.* L. I. c. III. not. á. p. 27.

§. XIII. Die Verba, die was vortheilhaftes oder schädliches anzeigen, haben das nomen, welchem zum Besten etwas geschiehet, im DATIVO bey sich, der daher der Dativus commodi heißet. Röm. 13, 2.

§. XIV. Bey vielen Verbis regieren die Präpositionen, mit denen sie zusammen gesetzt sind, die Casus, welche die Präpositionen einzeln und für sich regieren, und dieses geschieht sonderlich beym Dativo. Z. E. συγκακοπάθησον τῷ ἐυαγγελίῳ.

§. XV. Ἐιμὶ und ὑπάρχω, wenn sie so viel als haben bedeuten, führen das Subiectum possidens im Dativo bey sich. Apostg. 3, 6.

§. XVI. Die Verba activa und media, wie auch gewisse Impersonalia, als δεῖ, χρὴ, ingleichen die Verba des schämens, schmeichelns, erbarmens und gereuens ꝛc. ꝛc. haben einen ACCVSATIVVM. 1 Tim. 3, 2. Matth. 16, 21. c. 17, 10.

§. XVII.

§. XVII. Diejenigen Verba, welche ein verbergen, lehren, fordern, bitten, fragen, aus- und ankleiden, anzeigen, haben zween ACCVSATIVOS, nemlich rei und personæ. Ja, einige Passiva behalten sogar den Accusativum bey, den sie als activa regieren. Luc. 16, 19. Marc. 1, 6. als περιβεβλημένος στολὴν λευκὺν. Matth. 10, 42. 1 Cor. 3, 2. Joh. 11, 22.

(*) Die Lateiner haben die Gewohnheit von den Griechen angenommen. Virgil z. E. sagt: exuvias indutus Achilles. Vechner hat in seiner Hellenolexia unzählige solcher Græcismorum in den Lateinern gesammlet.

§. XVIII. Die PARTICIPIA werden auch anstatt des Infinitivi gebraucht. Luc. 5, 7. Matth. 1, 18. c 11, 1. ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων für διατάσσειν.

§. XIX. Μέλλω stehet zierlich bey den temporibus des Infinitivi,, und ist alsdann so viel als der Lateiner ihr Fut. in RVS. Matth. 17, 12. ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν, wird leiden. Apg. 24, 15.

§. XX. Bey den Verbis ist noch zu merken

a) daß die Griechen zu einem Verbo noch wohl ein, demselben verwandtes, Substantivum mit Nachdruck setzen. Matth. 2, 10. ἐχάρησαν χαρὰν μεγάλην. μάχομαι μάχην. δουλεύω δουλείαν.

b) Daß die ADIECTIVA VERBALIA (welche von III. pers. sg. Præt. pass. abstammen) ihr Substantivum ordentlicher Weise in demjenigen Casu bey sich haben, den das Verbum, von dem sie herkommen, regieret, ἀγαθὸς μόνος τιμητέως. Χρηστέων τοῖς ὑπαρχοῦσι νόμοις, man muß sich nach den bereits vorhandenen Gesetzen richten.

c) Daß

c) Daß die Griechen die Tempora Infinitivi als nomina gebrauchen, daher kommen außer den sehr bekannten Fällen folgende vor: ἃ μὲν ΜΑΘΟΝΤΑΣ ποιεῖν ἔδωκαν οἱ Θεοὶ, und ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ Θεοὶ ΜΑΘΟΥΣΙ. XENOPH. *Mem. Socr.* c. I. §. 9.

§. XXI. Die ADVERBIA der Beschaffenheit werden zierlich zu gewissen Verbis gesetzet. Marc. 5, 23. τὸ θυγάτριόν μου ἐσχάτως ἔχει, meine liebe Tochter liegt in den letzten Zügen.

§. XXII. Zwo NEGATIONES verneinen bey den Griechen stärker, als nur Eine. Luc. 21, 33. Joh. 19, 41. Luc. 21, 33. und zwo Affirmationes bejahen ebenfalls noch mehr. Offenb. 22, 20.

§. XXIII. Diese CONIVNCTIONES regieren gemeinigl. selten

ἵνα, damit, wenn, warum, wohin,	Coniunct. opt.
ὄφρα, ὡς auf daß - - - -	Coniunct. opt.
ὅπως, daß also, wie - - -	Coni.
ὥστε, daß, so daß, derowegen,	Indic. Inf.
ὅτι, weil, welcher, nemlich, obwol	indic.
ἐὰν, wofern, quum, etsi, sondern,	Coniunct. opt.
κἂν, obgleich, nur, und wenn	coni. opt. indic.
εἰ, wenn, num? etsi, sintemal	indic. opt. coni.
ἢν, ἂν wenn - - - - - - -	coni.

(*) Wer insbesondere zum bessern Verstande des Neuen Testaments mehr dergleichen Observationen, als wir hier im Syntax angegeben haben, wissen will, der muß Prizäum, Bezam, Erasmum, Schmidt, Flazium, Wolfen, und vor allen andern die unentbehrliche und unschätzbare *Philologiam S.* des seel. Sal. Glaßius fleißig nachschlagen.

Schriftstellen des Neuen Testamentes,
woraus
die vornehmsten Lehren der christlichen Religion erlernet und erwiesen werden können. *)

I. Die Vernunft sieht es an der Welt, daß ein Gott sey.

Rom. I, 20.

Τὰ ἀόρατα τȣ̃ Θεȣ̃ ἀπὸ κτίσεως κόσμȣ, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτȣ̃ δύναμις καὶ θειότης· εἰς τὸ εἶναι αὐτȣ̀ς ἀναπολογήτȣς.

II. Von der H. Schrift.

Io. V, 39.

Ἐρευνᾶτε τὰς γραφάς· ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμȣ̃.

2 Timoth. III, 16.

Πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ.

III. Von GOtt.

Io. IV, 24.

Πνεῦμα ὁ Θεός.

1 Tim. VI, 15. 16.

Ὁ μακάριος καὶ μόνος Δυνάστης, ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, (16) ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον. Ἀμήν.

1 Io. IV, 16.

Ὁ Θεὸς ἀγάπη ἐστί.

1 Tim. II, 5. 6.

Εἷς Θεός, εἷς καὶ μεσίτης Θεȣ̃ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησȣ̃ς·
(6) ὁ

*) Nach den folgenden Sprüchen wird der Lehrer von den Anfängern, und nach der Chrestomathie, von den geübtern Exercitia und Nachahmungen machen lassen.

(6) ὁ δὲς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων.

Apoc. XV, 3. 4.

Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ Θεὸς, ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν ἁγίων. (4) Τίς οὐ μὴ φοβηθῇ σε, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου; ὅτι μόνος ὅσιος.

cap. XVI, 5.

Δίκαιος, Κύριε, εἶ, ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ ὅσιος.

IV. Von den göttlichen Werken.

a) Von der Schöpfung.

1 Cor. IIX, 6.

Ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ

Hebr. XI, 3.

Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι.

b) Von der Erhaltung und Vorsehung.

Matth. VI, 26.

Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· Οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;

Rom. IIX, 28.

Οἴδαμεν, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.

V. Von den H. Engeln.

Hebr. I, 14.

Οὐχὶ πάντες οἱ Ἄγγελοι εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

VI. Von dem Menschen.

a) Vom göttlichen Ebenbilde.

Coloss. III, 10.

Ἐνδυσάμενοι τὸν νέον ἄνθρωπον, τὸν ἀνακαινούμενον

νούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν.

Eph. IV, 23. 24.

Ἀνανεοῦσθαι τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, (24) καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ, καὶ ὁσιότητι τῆς ἀληθείας.

b) Von der Sünde.

Iac. I, 13. 14.

Μηδεὶς πειραζόμενος λεγέτω· ὅτι ἀπὸ τοῦ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. (14) Ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος.

Io. IIX, 44.

Ὁ Διάβολος ἀνθρωποκτόνος ἦν ἀπ᾽ ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν αλήθεια ἐν αὐτῷ.

1. Io. III, 4.

Ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία.

Rom. III, 23. 24.

Πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ· (24) δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ (Θεοῦ) χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

VII. Von der Erlösung der Menschen.

Von dem Erlöser Christo.

1 Io. V, 20.

Οὗτος (Ἰησοῦς Χριστὸς) ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ αἰώνιος.

Hebr. I, 2. 3.

Ὁ Θεὸς ἐλάλησεν ἡμῖν ἐν υἱῷ, (2) ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, (3) ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾽ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς.

Rom.

Rom. IX, 5.

Ἐξ ὧν (πατέρων) ὁ Χριςὸς, τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τȣ̀ς αἰῶνας· ἀμήν.

Hebr. II, 17.

Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιςὸς - - (18) ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Das prophetische und evangelische Lehramt Christi.

Io. I, 16. 17. 18.

Ἐκ τȣ̃ πληρώματος αὐτȣ̃ (Χριςȣ̃) ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. (17) ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησȣ̃ Χριςȣ̃ ἐγένετο. (18) Θεὸν ȣ̓δεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

Das hohepriesterliche Amt.

Io. I, 29.

Ἴδε ὁ ἀμνὸς τοῦ Θεȣ̃ ὁ αἴρων τὴν ἁμαρτίαν τȣ̃ κόσμȣ.

Hebr. VII, 26.

Τοιȣ̃τος ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν ȣ̓ρανῶν γενόμενος.

Hebr. X, 12.

Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τȣ̃ Θεȣ̃.

1 Io. II, 1. 2.

Τεκνία μȣ, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε· καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησȣ̃ν Χριςὸν δίκαιον. (2) Καὶ αὐτὸς ἱλασμός ἐςι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· ȣ̓ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλȣ τȣ̃ κόσμȣ.

2 Cor. V, 14. 15.

Ἡ ἀγάπη τȣ̃ Χριςȣ̃ συνέχει ἡμᾶς. (15) κρίναντας τȣ̃το, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. Καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.

Io. III, 16.

Οὕτω ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥςε τὸν υἱὸν αὐτȣ̃ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιςεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Io. X, 14. 17.

Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. (17) Διὰ τȣ̃το ὁ Πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μȣ (ὑπὲρ τῶν προβάτων v. 15.) ἵνα πάλιν λάβω αὐτήν.

Io. XIV, 6.

Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. ȣ̓δεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δἰ ἐμȣ̃.

Das königliche Amt.

Matth. XXIIX, 18.

Ἐδόθη μοι πᾶσα ἐξȣσία ἐν ȣ̓ρανῷ, καὶ ἐπὶ γῆς.

Io. XVIII, 36.

Ἡ βασιλεία ἡ ἐμὴ ȣ̓κ ἔςιν ἐκ τȣ̃ κόσμȣ τȣ́τȣ.

Luc. XXIV, 26.

Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριςὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτȣ̃;

Von den beyden Ständen des Erlösers.

Phil. II, 5-11.

a) Stand der Erniedrigung.

(5) Τȣ̃το φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριςῷ Ἰησȣ̃. (6) Ὃς ἐν μορφῇ Θεȣ̃ ὑπάρχων, ȣ̓χ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. (7) Ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δȣ́λȣ λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, (8) καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτȣ, θανάτȣ δὲ ςαυρȣ̃.

b) Stand der Erhöhung.

(9) Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· (10) ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. (11) καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός.

IIX. Von dem allein seligmachenden Glauben, und von der Rechtfertigung der Gläubigen.

Eph. II, 8. 9.

Τῇ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, - - ἵνα μή τις καυχήσηται.

Phil. III, 8. 9.

Ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, (9) καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει.

IX. Von dem heiligen Leben der Christen.

Tit. II, 11-14.

Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις· (12) παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· (13) προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. (14) ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

Gal. II, 17. 20.

Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί,

λοὶ, ἆρα Χριςὸς ἁμαρτίας διάκονος; μὴ γενοιτο. (20) ζῶ δὲ, ὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοι Χριςός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίςει ζῶ τῇ τῦ ὑιῦ τῦ Θεῦ, τῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμῦ.

Io. XIV, 23.

Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ Πατήρ μυ ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

Io. XV, 5.

Ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, ὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν ὐδέν.

1 Io. II, 15. 17.

Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ἐάν τις ἀγαπᾷ τὸν κόσμον, ὐκ ἔςιν ἡ ἀγάπη τῦ Πατρὸς ἐν αὐτῷ· (17) Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τῦ Θεῦ, μένει εἰς τὸν αἰῶνα.

Eph. V, 1. 2.

Γίνεσθε μιμηταὶ τοῦ Θεῦ, ὡς τέκνα ἀγαπητὰ, (2) καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριςὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ, εἰς ὀσμὴν εὐωδίας.

X. Von dem heiligen Geiste.

a) seiner Gottheit.

1 Cor. III, 16.

Οὐκ οἴδατε, ὅτι ναὸς Θεῦ ἐςε, καὶ τὸ πνεῦμα τῦ Θεῦ οἰκεῖ ἐν ὑμῖν;

b) Ausgange und Aemtern.

Io. XIV, 16. 17.

Ἐγὼ (Χριςὸς) ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα· (17) τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος ὐ δύναται λαβεῖν.

Rom. IIX, 9. 14. 15. 16. 17.

Εἴ τις Πνεῦμα Χριςȣ̃ ȣ̓κ ἔχει, ȣ̔͂τος ȣ̓κ ἔςιν αὐτȣ̃ - - (14) Ὅσοι Πνεύματος Θεȣ̃ ἄγονται, ȣ̔͂τοί εἰσιν υἱοὶ Θεȣ̃. (15) ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ, ὁ Πατήρ. (16) Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεȣ̃. (17) Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεȣ̃, συγκληρονόμοι δὲ Χριςȣ̃· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

XI. Von der Wiedergeburt.

Io. III, 3.

Ἀμὴν, ἀμὴν, λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τȣ̃ Θεȣ̃.

2 Cor. V, 17.

Ὥςε, εἴ τις ἐν Χριςῷ, καινὴ κτίσις.

1 Io. V, 3. 4.

Αἱ ἐντολαὶ αὐτȣ̃ βαρεῖαι ȣ̓κ εἰσίν. (4) Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τȣ̃ Θεȣ̃ νικᾷ τὸν κόσμον καὶ αὕτη ἐςὶν ἡ νίκη, ἡ νικήσασα τὸν κόσμον, ἡ πίςις ἡμῶν.

XII. Von der Erneurung.

Phil. II, 13. IV, 13.

Ὁ Θεός ἐςιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. (IV, 13.) Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμȣ̃ντί με, Χριςῷ.

XIII. Von der H. Taufe.

Tit. III, 5.

Ὁ Θεὸς ἔσωσεν ἡμᾶς διὰ λȣτρȣ̃ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίȣ.

Gal. III, 27.

Ὅσοι εἰς Χριςὸν ἐβαπτίσθητε, Χριςὸν ἐνεδύσασθε.

XIV. Vom H. Abendmahl.

1 Cor. X, 16.

Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογȣ̃μεν, ȣ̓χὶ κοινωνία τȣ̃ αἵματος τȣ̃ Χριςȣ̃

Χριςȣ̃ ἐςι; Τὸν ἄρτον, ὃν κλῶμεν, ȣ̓χὶ κοινωνία τȣ̃ σώματος τȣ̃ Χριςȣ̃ ἐςιν;

XV. Vom Gebet.

Io. XVI, 23.

Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὅτι, ὅσα ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μȣ, δώσει ὑμῖν.

Rom. IIX, 26.

Ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί προσευξώμεθα, καθὸ δεῖ, ȣ̓κ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ὑμῶν ςεναγμοῖς ἀλαλήτοις.

XVI. Von dem geistlichen und leiblichen Leiden der Christen.

Hebr. XII, 1. 2. 6.

Ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίςατον ἁμαρτίαν, δἰ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα· (2) ἀφορῶντες εἰς τὸν τῆς πίςεως ἀρχηγὸν καὶ τελειωτὴν, Ἰησȣ̃ν, ὃς, ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε ςαυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τȣ̃ θρόνȣ τȣ̃ Θεȣ̃ ἐκάθισεν. (6) ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει.

2 Cor. IV, 17. 18.

Τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν, αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν· (18) Μὴ σκοπȣ́ντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.

XVII. Von der Kirche.

1 Pet. II, 9. 10.

Ὑμεῖς δὲ, γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν· ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τȣ̃ ἐκ σκότȣς ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαςὸν αὐτȣ̃ φῶς· (10) Οἵ ποτε οὐ λαὸς, νῦν δὲ λαὸς Θεȣ̃

οἱ ἐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.

Eph. V, 25. 26. 23.

Ὁ Χριςὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λȣτρῷ τȣ̃ ὕδατος ἐν ῥήματι — — — (23) ὁ Χριςὸς κεφαλὴ τῆς ἐκκλησίας· καὶ αὐτὸς ἐςὶ σωτὴρ τȣ̃ σώματος.

XVIII. Vom Tode.

Phil. I, 21. 23.

Ἐμοὶ τὸ ζῆν Χριςός· καὶ τὸ ἀποθανεῖν, κέρδος. (23) τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν Χριςῷ εἶναι.

Apoc. XIV, 13.

Μακάριοι οἱ νεκροὶ, οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι· Ναὶ, λέγει τὸ Πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκολȣθεῖ μετ᾽ αὐτῶν.

XIX. Von der Auferstehung der Todten und von dem allgemeinen Gerichte.

Act. XXIV, 15.

Ἐλπίδα ἔχων εἰς τὸν Θεὸν, ἣν καὶ αὐτοὶ ȣ̔̃τοι προσδέχονται, ἀνάςασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων.

2 Cor. V, 10.

Τοὺς πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τȣ̃ Χριςȣ̃, ἵνα κομίσηται ἕκαςος τὰ διὰ τȣ̃ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.

XX. Vom ewigen Leben.

Io. X, 27. 28.

Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μοῦ ἀκȣ́ει. (28) Κᾀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ ȣ̓ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ ȣ̓χ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μȣ.

Rom. II, 9 10. 11.

Θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν. (10) δόξα δὲ, καὶ τιμὴ καὶ εἰρήνη, παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. (11) Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ.

Apoc. XXII, 17. 20.

Τὸ Πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· Ἐλθέ· (20) Λέγει ὁ μαρτυρῶν ταῦτα· Ναὶ ἔρχομαι ταχύ. Ἀμήν. Ναὶ ἔρχου, Κύριε Ἰησοῦ.

Aesopische Fabeln*)

zur Uebung im Uebersetzen.

1. Καρκῖνος καὶ Μήτηρ, ex *Aphthonio*.

Ἡ μήτηρ πρὸς τὸν καρκῖνον· τί δὲ λοξὴν, ἣν, ὦ παῖς, βαδίζεις ὁδὸν, ὀρθὴν εἶναι προσῆκον; ὁ δὲ πρὸς αὐτήν· ἡγοῦ τῆς ὁδοῦ, ὦ μῆτερ, καὶ πρὸς αὐτὴν βαδίζειν πειράσομαι· τῆς δὲ βαδίζειν ἀπορούσης ὀρθῶς, κατήγορος ὁ παῖς τῆς παρανοίας ἐγένετο.

Ῥᾷον παραινεῖν, ἃ ποιεῖν ὑπῆρξεν ἀδύνατον.

2. Λαγωοὶ καὶ Βάτραχοι.

Οἱ λαγωί ποτε συνελθόντες τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη, καὶ δειλίας

---

*) Ich habe diejenigen Fabeln dazu erwählet, welche in meiner Chrestomathia Latina von p. 93. an bis 107. lateinisch stehen, und also die Uebersetzung, als überflüssig, weggelassen.

δειλίας πλέως· καὶ γὰρ καὶ ὑπ' ἀνθρώπων, καὶ κυνῶν, καὶ ἀετῶν. καὶ ἄλλων πολλῶν ἀναλίσκονται· βέλτιον ἒν εἶναι θανεῖν ἅπαξ, ἢ διὰ βίȣ τρέμειν. τȣ̃το τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταύτην εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσȣ̃μενοι καὶ ἀποπνιγησόμενοι. τῶν δὲ καθημένον κύκλω τῆς λίμνης βατράχων, ὡς τὸν τȣ̃ δρόμȣ κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις, ἀγχινȣςερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη. ςῆτε, ἑταῖροι, μηδὲν δεινὸν ὑμᾶς αὐτȣ̀ς διαπράξησθε, ἤδη, ὡς ὁρᾶτε, καὶ ἡμῶν ἕτερ' ἐςὶ ζῶα δειλότερα.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ δυσυχȣ̃ντες ἐξ ἑτέρων χείρονα παχόντων παραμυθȣ̃νται.

3. Ἀλώπηξ καὶ Γέρανος, ex *Plutarcho.*

Οἱ δὲ τοιαῦτα προβλήματα καθιέντες ȣ̓δὲν ἂν τῆς Αἰσώπȣ. γεράνȣ καὶ ἀλώπεκος ἐπιεικέςερον πρὸς κοινωνίαν φανεῖεν. ὧν ἡ μὲν ἔτνος τί λιπαρὸν κατὰ λίθȣ πλατείας καταχεαμένην, ἀλλὰ γέλωτα πάσχȣσαν ἠνία. ἐξέφευγε γὰρ ὑγρότητι τὸ ἔτνος τὴν λεπτότητα τȣ̃ ςόματος αὐτῆς. ἐν μέρει τοίνυν ἡ γεράνος αὐτῇ καταγγείλασα δεῖπνον, ἐν λαγηνίδι πρȣ̃θηκε λεπτὸν ἐχȣ̃ση καὶ μακρὸν τράχηλον, ὥςε αὐτὴν μὲν καθιέναι τὸ ςόμα ῥᾳδίως καὶ ἀπολαύειν, τὴν δὲ ἀλώπεκα μὴ δυναμένην κομίζεσθαι συμβολὰς πρεπȣ̃σας.

4. Γαλῆ.

Γαλῆ εἰς ἐργαςήριον εἰσελθȣ̃σα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. ξωομένης δὲ τῆς γλωτ-

γλώττης, αἷμα πολὺ ἐφέρετο. ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶτταν ἀνήλωσεν.

Ο μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

5. Κοιλία καὶ Πόδες.

Κοιλία καὶ πόδες περὶ δυνάμεως ἤριζον. παρ᾽ ἕκαστα δὲ τῶν ποδῶν λεγόντων, ὅτι τοσοῦτον προέχουσι τῇ ἰσχύϊ, ὡς καὶ αὐτὴν τὴν γαστέρα βαστάζειν, ἐκείνη ἀπεκρίνατο, ἀλλ᾽ ὦ οὗτοι, ἐὰν μὴ τροφὴν ἐγὼ ὑμῖν παράσχοιμι, οὐδὲ ὑμᾶς βαστάζειν δυνήσεσθαι.

Οὕτω καὶ ἐπὶ τῶν στρατευμάτων μηδὲν εἶναι τὸ πλῆθος, ἐὰν τὴ οἱ στρατηγοὶ ἄριστα φρονῶσιν.

6. Νεανίσκοι καὶ Μάγειρος.

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο, καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἕτερος τούτων μέρος τὶ τῶν κρεῶν ὑφελόμενον εἰς τὸν θατέρου καθῆκε κόλπον. ἐπιστραφέντος δὲ τοῦ μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων, μὴ εἰληφέναι. ὁ δὲ μάγειρος, αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν, ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ᾽ ἐπιορκούμενον Θεὸν οὐκουν λύσεσθαι.

Ο μῦθος δηλοῖ· ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλά τόνγε Θεὸν οὐ λήσομεν.

7. Γεωργὸς καὶ Παῖδες αὐτοῦ.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας,

